# Πρὸς Θεσσαλονικεῖς Α

Παῦλος καὶ Σιλουανὸς[1] καὶ Τιμόθεος,[2] τῇ ἐκκλησίᾳ Θεσσαλονικέων[3] 1
ἐν θεῷ πατρί, καὶ κυρίῳ Ἰησοῦ χριστῷ: χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ χριστοῦ.

Εὐχαριστοῦμεν τῷ θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν[4] ὑμῶν 2
ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, ἀδιαλείπτως[5] μνημονεύοντες[6] 3
ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου[7] τῆς ἀγάπης, καὶ τῆς
ὑπομονῆς τῆς ἐλπίδος τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ἔμπροσθεν
τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν: εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ θεοῦ, 4
τὴν ἐκλογὴν[8] ὑμῶν: ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν 5
λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν
πληροφορίᾳ[9] πολλῇ, καθὼς οἴδατε οἷοι[10] ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς.
Καὶ ὑμεῖς μιμηταὶ[11] ἡμῶν ἐγενήθητε καὶ τοῦ κυρίου, δεξάμενοι τὸν 6
λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς πνεύματος ἁγίου, ὥστε γενέσθαι 7
ὑμᾶς τύπους[12] πᾶσιν τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ[13] καὶ τῇ
Ἀχαΐᾳ.[14] Ἀφ' ὑμῶν γὰρ ἐξήχηται[15] ὁ λόγος τοῦ κυρίου οὐ μόνον ἐν τῇ 8
Μακεδονίᾳ[13] καὶ ἐν τῇ Ἀχαΐᾳ,[14] ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις
ὑμῶν ἡ πρὸς τὸν θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν

[1] Σιλουανός, οῦ, ὁ, Silvanus. [2] Τιμόθεος, ου, ὁ, Timothy. [3] Θεσσαλονικεύς, έως, ὁ, Thessalonian. [4] μνεία, ας, ἡ, remembrance, mention. [5] ἀδιαλείπτως, constantly, unceasingly. [6] μνημονεύω, remember, make mention of. [7] κόπος, ου, ὁ, labor, trouble. [8] ἐκλογή, ῆς, ἡ, (divine) selection, choice. [9] πληροφορία, ας, ἡ, full assurance, certainty. [10] οἷος, such as, of what kind. [11] μιμητής, οῦ, ὁ, imitator. [12] τύπος, ου, ὁ, mark, example. [13] Μακεδονία, ας, ἡ, Macedonia. [14] Ἀχαΐα, ας, ἡ, Achaia. [15] ἐξηχέω, sound out.

τι. Αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν[1] εἴσοδον[2] ἔσχομεν 9
πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν θεὸν ἀπὸ τῶν εἰδώλων,[3]
δουλεύειν[4] θεῷ ζῶντι καὶ ἀληθινῷ,[5] καὶ ἀναμένειν[6] τὸν υἱὸν αὐτοῦ ἐκ 10
τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν, τὸν ῥυόμενον[7]
ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον[2] ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ **2**
κενὴ[8] γέγονεν: ἀλλὰ προπαθόντες[9] καὶ ὑβρισθέντες,[10] καθὼς οἴδατε, 2
ἐν Φιλίπποις,[11] ἐπαρρησιασάμεθα[12] ἐν τῷ θεῷ ἡμῶν λαλῆσαι πρὸς
ὑμᾶς τὸ εὐαγγέλιον τοῦ θεοῦ ἐν πολλῷ ἀγῶνι.[13] Ἡ γὰρ παράκλησις[14] 3
ἡμῶν οὐκ ἐκ πλάνης,[15] οὐδὲ ἐξ ἀκαθαρσίας,[16] οὔτε ἐν δόλῳ:[17] ἀλλὰ 4
καθὼς δεδοκιμάσμεθα[18] ὑπὸ τοῦ θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον,
οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες,[19] ἀλλὰ τῷ θεῷ τῷ
δοκιμάζοντι[18] τὰς καρδίας ἡμῶν. Οὔτε γάρ ποτε[20] ἐν λόγῳ κολακείας 5
ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει[22] πλεονεξίας:[23] θεὸς
μάρτυς: οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ᾽ ὑμῶν οὔτε ἀπὸ 6
ἄλλων, δυνάμενοι ἐν βάρει[24] εἶναι, ὡς χριστοῦ ἀπόστολοι, ἀλλ᾽ 7
ἐγενήθημεν ἤπιοι[25] ἐν μέσῳ ὑμῶν ὡς ἂν τροφὸς[26] θάλπῃ[27] τὰ ἑαυτῆς
τέκνα: οὕτως, ὁμειρόμενοι[28] ὑμῶν, εὐδοκοῦμεν[29] μεταδοῦναι[30] ὑμῖν 8
οὐ μόνον τὸ εὐαγγέλιον τοῦ θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς, διότι[31]

[1] ὁποῖος, what sort of, what kind of. [2] εἴσοδος, ου, ἡ, entrance, entering. [3] εἴδωλον, ου, τό, image, idol. [4] δουλεύω, serve, am a slave. [5] ἀληθινός, true, genuine. [6] ἀναμένω, wait for, expect. [7] ῥύομαι, rescue, save. [8] κενός, empty, vain. [9] προπάσχω, suffer previously. [10] ὑβρίζω, mistreat, insult. [11] Φίλιπποι, ων, ὁ, Philippi. [12] παρρησιάζομαι, speak freely or boldly, speak freely. [13] ἀγών, ῶνος, ὁ, struggle, fight. [14] παράκλησις, εως, ἡ, exhortation, consolation. [15] πλάνη, ης, ἡ, wandering, error. [16] ἀκαθαρσία, ας, ἡ, uncleanness, impurity. [17] δόλος, ου, ὁ, guile, deceit. [18] δοκιμάζω, prove, approve. [19] ἀρέσκω, please, serve. [20] ποτέ, once, at some time. [21] κολακεία, ας, ἡ, flattery. [22] πρόφασις, εως, ἡ, pretense, pretext. [23] πλεονεξία, ας, ἡ, covetousness, avarice. [24] βάρος, ους, τό, burden, weight. [25] ἤπιος, gentle, mild. [26] τροφός, οῦ, ἡ, nurse, mother. [27] θάλπω, cherish, comfort. [28] ὁμείρομαι, long for, desire earnestly. [29] εὐδοκέω, think it good, be well pleased with. [30] μεταδίδωμι, give a share of, share. [31] διότι, because, on this account.

ἀγαπητοὶ ἡμῖν γεγένησθε. Μνημονεύετε[1] γάρ, ἀδελφοί, τὸν κόπον[2] 9
ἡμῶν καὶ τὸν μόχθον:[3] νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ
μὴ ἐπιβαρῆσαί[4] τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ
θεοῦ. Ὑμεῖς μάρτυρες καὶ ὁ θεός, ὡς ὁσίως[5] καὶ δικαίως[6] καὶ 10
ἀμέμπτως[7] ὑμῖν τοῖς πιστεύουσιν ἐγενήθημεν: καθάπερ[8] οἴδατε ὡς 11
ἕνα ἕκαστον ὑμῶν, ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς
καὶ παραμυθούμενοι[9] καὶ μαρτυρόμενοι,[10] εἰς τὸ περιπατῆσαι ὑμᾶς 12
ἀξίως[11] τοῦ θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ
δόξαν.

Διὰ τοῦτο καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ θεῷ ἀδιαλείπτως,[12] ὅτι 13
παραλαβόντες λόγον ἀκοῆς[13] παρ' ἡμῶν τοῦ θεοῦ, ἐδέξασθε οὐ λόγον
ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς,[14] λόγον θεοῦ, ὃς καὶ
ἐνεργεῖται[15] ἐν ὑμῖν τοῖς πιστεύουσιν. Ὑμεῖς γὰρ μιμηταὶ[16] 14
ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλησιῶν τοῦ θεοῦ τῶν οὐσῶν ἐν τῇ
Ἰουδαίᾳ ἐν χριστῷ Ἰησοῦ: ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν
ἰδίων συμφυλετῶν,[17] καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ 15
τὸν κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους προφήτας, καὶ
ἡμᾶς ἐκδιωξάντων,[18] καὶ θεῷ μὴ ἀρεσκόντων,[19] καὶ πᾶσιν ἀνθρώποις
ἐναντίων,[20] κωλυόντων[21] ἡμᾶς τοῖς ἔθνεσιν λαλῆσαι ἵνα σωθῶσιν, εἰς 16

[1] μνημονεύω, remember, make mention of. [2] κόπος, ου, ὁ, labor, trouble. [3] μόχθος, ου, ὁ, toil, hardship. [4] ἐπιβαρέω, burden weigh down, burden. [5] ὁσίως, devoutly, piously. [6] δικαίως, righteously, justly. [7] ἀμέμπτως, blamelessly. [8] καθάπερ, even as, just as. [9] παραμυθέομαι, encourge, comfort. [10] μαρτύρομαι, affirm, testify. [11] ἀξίως, worthily, in a manner worthy of. [12] ἀδιαλείπτως, constantly, unceasingly. [13] ἀκοή, ῆς, ἡ, hearing, report. [14] ἀληθῶς, truly, really. [15] ἐνεργέω, work, effect. [16] μιμητής, οῦ, ὁ, imitator. [17] συμφυλέτης, ου, ὁ, fellow countryman. [18] ἐκδιώκω, drive out, persecute harshly. [19] ἀρέσκω, please, serve. [20] ἐναντίος, opposite, hostile. [21] κωλύω, forbid, hinder.

τὸ ἀναπληρῶσαι[1] αὐτῶν τὰς ἁμαρτίας πάντοτε: ἔφθασεν[2] δὲ ἐπʼ
αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.

Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες[3] ἀφʼ ὑμῶν πρὸς καιρὸν ὥρας, 17
προσώπῳ οὐ καρδίᾳ, περισσοτέρως[4] ἐσπουδάσαμεν[5] τὸ πρόσωπον
ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ: διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, 18
ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ[6] καὶ δίς,[7] καὶ ἐνέκοψεν[8] ἡμᾶς ὁ Σατανᾶς. 19
Τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος[9] καυχήσεως;[10] Ἢ οὐχὶ καὶ
ὑμεῖς, ἔμπροσθεν τοῦ κυρίου ἡμῶν Ἰησοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ;[11] 20
Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

Διὸ μηκέτι[12] στέγοντες,[13] εὐδοκήσαμεν[14] καταλειφθῆναι[15] ἐν Ἀθήναις[16] **3**
μόνοι, καὶ ἐπέμψαμεν Τιμόθεον[17] τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον 2
τοῦ θεοῦ καὶ συνεργὸν[18] ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ χριστοῦ, εἰς τὸ
στηρίξαι[19] ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν, τὸ 3
μηδένα σαίνεσθαι[20] ἐν ταῖς θλίψεσιν ταύταις: αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς
τοῦτο κείμεθα.[21] Καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν[22] ὑμῖν 4
ὅτι μέλλομεν θλίβεσθαι,[23] καθὼς καὶ ἐγένετο καὶ οἴδατε. Διὰ τοῦτο 5
κἀγώ, μηκέτι[12] στέγων,[13] ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν,
μήπως[24] ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ εἰς κενὸν[25] γένηται ὁ κόπος[26]

[1] ἀναπληρόω, fill up, fulfill. [2] φθάνω, come before another, anticipate. [3] ἀπορφανίζω, make an orphan of. [4] περισσῶς, abundantly, exceedingly. [5] σπουδάζω, hasten, be eager. [6] ἅπαξ, once, once for all. [7] δίς, twice. [8] ἐγκόπτω, impede, detain. [9] στέφανος, ου, ὁ, crown, garland. [10] καύχησις, εως, ἡ, boasting, act of boasting. [11] παρουσία, ας, ἡ, presence, coming. [12] μηκέτι, no longer. [13] στέγω, endure, bear. [14] εὐδοκέω, think it good, be well pleased with. [15] καταλείπω, leave, leave behind. [16] Ἀθῆναι, ῶν, ἡ, Athens. [17] Τιμόθεος, ου, ὁ, Timothy. [18] συνεργός, οῦ, ὁ, fellow worker. [19] στηρίζω, establish, fix firmly. [20] σαίνω, move, disturb. [21] κεῖμαι, lie, be laid. [22] προλέγω, say beforehand, forewarn. [23] θλίβω, press, oppress. [24] μήπως, lest in any way, lest perhaps. [25] κενός, empty, vain. [26] κόπος, ου, ὁ, labor, trouble.

ἡμῶν. Ἄρτι δὲ ἐλθόντος Τιμοθέου[1] πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ 6
εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι
ἔχετε μνείαν[2] ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες[3] ἡμᾶς ἰδεῖν,
καθάπερ[4] καὶ ἡμεῖς ὑμᾶς: διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' 7
ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ[5] ἡμῶν διὰ τῆς ὑμῶν πίστεως: 8
ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκετε[6] ἐν κυρίῳ. Τίνα γὰρ εὐχαριστίαν[7] 9
δυνάμεθα τῷ θεῷ ἀνταποδοῦναι[8] περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ
χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ θεοῦ ἡμῶν, νυκτὸς καὶ ἡμέρας 10
ὑπὲρ ἐκπερισσοῦ δεόμενοι[9] εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον, καὶ
καταρτίσαι[10] τὰ ὑστερήματα[11] τῆς πίστεως ὑμῶν;

Αὐτὸς δὲ ὁ θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς χριστός, 11
κατευθύναι[12] τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς: ὑμᾶς δὲ ὁ κύριος πλεονάσαι[13] 12
καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ[4]
καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι[14] ὑμῶν τὰς καρδίας ἀμέμπτους[15] 13
ἐν ἁγιωσύνῃ,[16] ἔμπροσθεν τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ
τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

Λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν κυρίῳ **4**
Ἰησοῦ καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ
ἀρέσκειν[18] θεῷ, ἵνα περισσεύητε μᾶλλον. Οἴδατε γὰρ τίνας 2

[1] Τιμόθεος, ου, ὁ, Timothy. [2] μνεία, ας, ἡ, remembrance, mention. [3] ἐπιποθέω, long for, strain after. [4] καθάπερ, even as, just as. [5] ἀνάγκη, ης, ἡ, necessity, distress. [6] στήκω, stand, stand fast. [7] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [8] ἀνταποδίδωμι, recompense, repay. [9] δέομαι, ask, request. [10] καταρτίζω, mend, fit. [11] ὑστέρημα, τος, τό, that which is lacking, need. [12] κατευθύνω, lead, direct. [13] πλεονάζω, superabound, make to abound. [14] στηρίζω, establish, fix firmly. [15] ἄμεμπτος, blameless. [16] ἁγιωσύνη, ης, ἡ, holiness, holy or sanctified state. [17] παρουσία, ας, ἡ, presence, coming. [18] ἀρέσκω, please, serve.

παραγγελίας[1] ἐδώκαμεν ὑμῖν διὰ τοῦ κυρίου Ἰησοῦ. Τοῦτο γάρ ἐστιν 3
θέλημα τοῦ θεοῦ, ὁ ἁγιασμὸς[2] ὑμῶν, ἀπέχεσθαι[3] ὑμᾶς ἀπὸ τῆς
πορνείας:[4] εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος[5] κτᾶσθαι[6] ἐν 4
ἁγιασμῷ[2] καὶ τιμῇ, μὴ ἐν πάθει[7] ἐπιθυμίας, καθάπερ[8] καὶ τὰ ἔθνη τὰ 5
μὴ εἰδότα τὸν θεόν: τὸ μὴ ὑπερβαίνειν[9] καὶ πλεονεκτεῖν[10] ἐν τῷ 6
πράγματι[11] τὸν ἀδελφὸν αὐτοῦ: διότι[12] ἔκδικος[13] ὁ κύριος περὶ
πάντων τούτων, καθὼς καὶ προείπομεν[14] ὑμῖν καὶ διεμαρτυράμεθα.[15] 7
Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ,[16] ἀλλ' ἐν ἁγιασμῷ.[2] 8
Τοιγαροῦν[17] ὁ ἀθετῶν[18] οὐκ ἄνθρωπον ἀθετεῖ,[18] ἀλλὰ τὸν θεὸν τὸν καὶ
δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς.

Περὶ δὲ τῆς φιλαδελφίας[19] οὐ χρείαν ἔχετε γράφειν ὑμῖν: αὐτοὶ γὰρ 9
ὑμεῖς θεοδίδακτοί[20] ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους: καὶ γὰρ ποιεῖτε 10
αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ.[21]
Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον, καὶ 11
φιλοτιμεῖσθαι[22] ἡσυχάζειν,[23] καὶ πράσσειν τὰ ἴδια, καὶ ἐργάζεσθαι
ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν: ἵνα περιπατῆτε 12
εὐσχημόνως[24] πρὸς τοὺς ἔξω, καὶ μηδενὸς χρείαν ἔχητε.

[1] παραγγελία, ας, ἡ, instruction, command. [2] ἁγιασμός, οῦ, ὁ, consecration, holiness. [3] ἀπέχω, received, obtain. [4] πορνεία, ας, ἡ, fornication, idolatry. [5] σκεῦος, ους, τό, vessel, goods (plural). [6] κτάομαι, acquire, win. [7] πάθος, ους, τό, suffering, pain. [8] καθάπερ, even as, just as. [9] ὑπερβαίνω, go beyond, trespass. [10] πλεονεκτέω, take advantage, take advantage of. [11] πρᾶγμα, τος, τό, deed, matter. [12] διότι, because, on this account. [13] ἔκδικος, ου, ὁ, avenging, punishing. [14] προλέγω, say beforehand, forewarn. [15] διαμαρτύρομαι, testify solemnly. [16] ἀκαθαρσία, ας, ἡ, uncleanness, impurity. [17] τοιγαροῦν, consequently, therefore. [18] ἀθετέω, reject, annul. [19] φιλαδελφία, ας, ἡ, love of brothers, brotherly love. [20] θεοδίδακτος, taught by God. [21] Μακεδονία, ας, ἡ, Macedonia. [22] φιλοτιμέομαι, have as an ambition, aspire to. [23] ἡσυχάζω, be still, be silent. [24] εὐσχημόνως, becomingly, properly.

Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν,[1] ἀδελφοί, περὶ τῶν κεκοιμημένων,[2] ἵνα μὴ 13
λυπῆσθε,[3] καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ 14
πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανεν καὶ ἀνέστη, οὕτως καὶ ὁ θεὸς τοὺς
κοιμηθέντας[2] διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν 15
ἐν λόγῳ κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι[4] εἰς τὴν
παρουσίαν[5] τοῦ κυρίου, οὐ μὴ φθάσωμεν[6] τοὺς κοιμηθέντας.[2] Ὅτι 16
αὐτὸς ὁ κύριος ἐν κελεύσματι,[7] ἐν φωνῇ ἀρχαγγέλου,[8] καὶ ἐν
σάλπιγγι[9] θεοῦ, καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν χριστῷ
ἀναστήσονται πρῶτον: ἔπειτα[10] ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι,[4] 17
ἅμα[11] σὺν αὐτοῖς ἁρπαγησόμεθα[12] ἐν νεφέλαις[13] εἰς ἀπάντησιν[14] τοῦ
κυρίου εἰς ἀέρα:[15] καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. Ὥστε 18
παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν **5**
γράφεσθαι. Αὐτοὶ γὰρ ἀκριβῶς[16] οἴδατε ὅτι ἡ ἡμέρα κυρίου ὡς 2
κλέπτης[17] ἐν νυκτὶ οὕτως ἔρχεται: ὅταν γὰρ λέγωσιν, Εἰρήνη καὶ 3
ἀσφάλεια,[18] τότε αἰφνίδιος[19] αὐτοῖς ἐφίσταται[20] ὄλεθρος,[21] ὥσπερ ἡ
ὠδὶν[22] τῇ ἐν γαστρὶ[23] ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.[24] Ὑμεῖς δέ, 4
ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης[17]
καταλάβῃ:[25] πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας: οὐκ 5

[1] ἀγνοέω, not know, be unaware. [2] κοιμάομαι, sleep, fall asleep. [3] λυπέω, grieve, pain. [4] περιλείπω, leave behind. [5] παρουσία, ας, ἡ, presence, coming. [6] φθάνω, come before another, anticipate. [7] κέλευσμα, τος, τό, shouted command, word of command. [8] ἀρχάγγελος, ου, ὁ, chief angel, archangel. [9] σάλπιγξ, ιγγος, ἡ, trumpet. [10] ἔπειτα, then, after this. [11] ἅμα, at the same time. [12] ἁρπάζω, seize, snatch. [13] νεφέλη, ης, ἡ, cloud. [14] ἀπάντησις, εως, ἡ, meeting, act of meeting. [15] ἀήρ, ος, ὁ, air. [16] ἀκριβῶς, carefully, accurately. [17] κλέπτης, ου, ὁ, thief. [18] ἀσφάλεια, ας, ἡ, certainty, security. [19] αἰφνίδιος, sudden, unexpected. [20] ἐφίστημι, stand over, come upon. [21] ὄλεθρος, ου, ὁ, destruction, death. [22] ὠδίν, ῖνος, ἡ, birth pang, agony. [23] γαστήρ, τρος, ἡ, belly, womb. [24] ἐκφεύγω, flee away, flee out. [25] καταλαμβάνω, overtake, apprehend.

ἐσμὲν νυκτὸς οὐδὲ σκότους: ἄρα οὖν μὴ καθεύδωμεν[1] ὡς καὶ οἱ 6
λοιποί, ἀλλὰ γρηγορῶμεν[2] καὶ νήφωμεν.[3] Οἱ γὰρ καθεύδοντες[1] 7
νυκτὸς καθεύδουσιν:[1] καὶ οἱ μεθυσκόμενοι,[4] νυκτὸς μεθύουσιν.[5] 8
Ἡμεῖς δέ, ἡμέρας ὄντες, νήφωμεν,[3] ἐνδυσάμενοι[6] θώρακα[7] πίστεως
καὶ ἀγάπης, καὶ περικεφαλαίαν,[8] ἐλπίδα σωτηρίας. Ὅτι οὐκ ἔθετο 9
ἡμᾶς ὁ θεὸς εἰς ὀργήν, ἀλλ’ εἰς περιποίησιν[9] σωτηρίας διὰ τοῦ κυρίου
ἡμῶν Ἰησοῦ χριστοῦ, τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν, ἵνα, εἴτε 10
γρηγορῶμεν[2] εἴτε καθεύδωμεν,[1] ἅμα[10] σὺν αὐτῷ ζήσωμεν. Διὸ 11
παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ
ποιεῖτε.

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας[11] ἐν ὑμῖν, καὶ 12
προϊσταμένους[12] ὑμῶν ἐν κυρίῳ, καὶ νουθετοῦντας[13] ὑμᾶς, καὶ 13
ἡγεῖσθαι[14] αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν.
Εἰρηνεύετε[15] ἐν ἑαυτοῖς. Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, 14
νουθετεῖτε[13] τοὺς ἀτάκτους,[16] παραμυθεῖσθε[17] τοὺς ὀλιγοψύχους,[18]
ἀντέχεσθε[19] τῶν ἀσθενῶν,[20] μακροθυμεῖτε[21] πρὸς πάντας. Ὁρᾶτε μή 15
τις κακὸν ἀντὶ[22] κακοῦ τινὶ ἀποδῷ: ἀλλὰ πάντοτε τὸ ἀγαθὸν διώκετε
καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. Πάντοτε χαίρετε: ἀδιαλείπτως[23] 16
προσεύχεσθε: ἐν παντὶ εὐχαριστεῖτε: τοῦτο γὰρ θέλημα θεοῦ ἐν 18

[1] καθεύδω, sleep. [2] γρηγορέω, watch, keep watch. [3] νήφω, be sober, abstain from wine. [4] μεθύσκω, make drunk. [5] μεθύω, be drunken, am drunk. [6] ἐνδύω, put on, clothe. [7] θώραξ, ακος, ὁ, breastplate. [8] περικεφαλαία, ας, ἡ, helmet. [9] περιποίησις, εως, ἡ, preservation, acquisition. [10] ἅμα, at the same time. [11] κοπιάω, toil, labor. [12] προΐστημι, rule. [13] νουθετέω, admonish, exhort. [14] ἡγέομαι, lead, be chief. [15] εἰρηνεύω, bring to peace, be at peace. [16] ἄτακτος, disorderly, unruly. [17] παραμυθέομαι, encourge, comfort. [18] ὀλιγόψυχος, faint-hearted, discouraged. [19] ἀντέχομαι, hold, hold fast. [20] ἀσθενής, weak, infirm. [21] μακροθυμέω, be patient, suffer long. [22] ἀντί, instead of, in place of. [23] ἀδιαλείπτως, constantly, unceasingly.

χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ πνεῦμα μὴ σβέννυτε·[1] προφητείας[2] μὴ 19
ἐξουθενεῖτε·[3] πάντα δὲ δοκιμάζετε·[4] τὸ καλὸν κατέχετε·[5] ἀπὸ παντὸς 21
εἴδους[6] πονηροῦ ἀπέχεσθε.[7]

Αὐτὸς δὲ ὁ θεὸς τῆς εἰρήνης ἁγιάσαι[8] ὑμᾶς ὁλοτελεῖς·[9] καὶ ὁλόκληρον[10] 23
ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως[11] ἐν τῇ παρουσίᾳ
τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ τηρηθείη. Πιστὸς ὁ καλῶν ὑμᾶς, 24
ὃς καὶ ποιήσει.

Ἀδελφοί, προσεύχεσθε περὶ ἡμῶν. 25

Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν φιλήματι[13] ἁγίῳ. Ὁρκίζω[14] ὑμᾶς 26
τὸν κύριον, ἀναγνωσθῆναι τὴν ἐπιστολὴν[15] πᾶσιν τοῖς ἁγίοις
ἀδελφοῖς.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ μεθ᾽ ὑμῶν. Ἀμήν. 28

[1] σβέννυμι, quench, extinguish. [2] προφητεία, ας, ἡ, prophecy. [3] ἐξουθενέω, despise, ignore. [4] δοκιμάζω, prove, approve. [5] κατέχω, hold back, hold fast. [6] εἶδος, ους, τό, form, sight. [7] ἀπέχω, received, obtain. [8] ἁγιάζω, make holy, consecrate. [9] ὁλοτελής, in every way complete, perfect. [10] ὁλόκληρος, whole, complete. [11] ἀμέμπτως, blamelessly. [12] παρουσία, ας, ἡ, presence, coming. [13] φίλημα, τος, τό, kiss. [14] ὁρκίζω, adjure, implore. [15] ἐπιστολή, ῆς, ἡ, letter, dispatch.